13/12/2020

Εορτή του Αποστόλου Ανδρέα στο Πατριαρχείο Ιεροσολύμων

Πατριαρχεία / Πατριαρχείο Ιεροσολύμων

Σήμερα, Κυριακή, 30η Νοεμβρίου/13ην Δεκεμβρίου 2020, εορτάσθηκε από το Πατριαρχείο Ιεροσολύμων η εορτή της μνήμης του Αγίου ενδόξου Αποστόλου Ανδρέου του Πρωτοκλήτου στην εν τη Δυτική Ιερουσαλήμ Ιερά Μονή του Τιμίου Σταυρού, όπου διατηρείται η παράδοση ότι φυτεύτηκε το τρισύνθετο ξύλο εκ πεύκου, κέδρου και κυπαρίσσου, επί του οποίου προσηλώθη και εσταυρώθη για τη σωτηρία μας ο Κύριος ημών Ιησούς Χριστός.

Στην ιστορική αυτή Μονή, στην οποία λειτουργούσε η Ανωτάτη Θεολογική Σχολή από το 1845 έως το 1909 και στον Ναό της οποίας διατηρούνται τοιχογραφίες Βυζαντινής και Γεωργιανής τέχνης προεξήρχε της Θείας Λειτουργίας κατά την εορτή η Α.Θ.Μ. ο Μακαριώτατος Πατριάρχης Ιεροσολύμων κ.κ. Θεόφιλος, συλλειτουργούντων Αυτώ του Σεβασμιωτάτου Μητροπολίτου Καπιτωλιάδος κ. Ησυχίου και του Σεβασμιωτάτου Αρχιεπισκόπου Πέλλης κ. Φιλουμένου, του Γέροντος Καμαράση Αρχιμανδρίτου π. Νεκταρίου και του Ιεροδιακόνου π. Ευλογίου, ψάλλοντος του Σεβ. Μητροπολίτου Ελενουπόλεως κ. Ιωακείμ, παρουσία του Γενικού Προξένου της Ελλάδος εις τα Ιεροσόλυμα κ. Ευαγγέλου Βλιώρα και μετεχόντων ελαχίστων πιστών.

http://jerusalem-patriarchate.info

http://jerusalem-patriarchate.info

Στο Κοινωνικόν της θείας Λειτουργίας ο Μακαριώτατος κήρυξε τον θείο λόγο, λέγοντας:

«Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ ᾽Ιωάννης καί ἐκ τῶν μαθητῶν αὐτοῦ δύο, καί ἐμβλέψας τῷ ᾽Ιησοῦ περιπατοῦντι λέγει· ἴδε ὁ ἀμνός τοῦ Θεοῦ. καί ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταί λαλοῦντος, καί ἠκολούθησαν τῷ ᾽Ιησοῦ....

ἦν Ἀνδρέας ὁ ἀδελφός Σίμωνος Πέτρου εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρά ᾽Ιωάννου καί ἀκολουθησάντων αὐτῷ». (Ἰωάν. 1: 35-37, 40).

Ἀγαπητοί ἐν Χριστῷ ἀδελφοί,

Εὐλαβεῖς Χριστιανοί,

Ἡ δύναμις τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ συνήγαγε πάντας ἡμᾶς ἐν τῷ ἱερῷ προσκυνηματικῷ τούτῳ τόπῳ τῆς Μονῆς, δηλονότι τοῦ Σταυροῦ, ἵνα ἑορτάσωμεν τήν μνήμην τοῦ κήρυκος τῆς πίστεως καί ὑπηρέτου τοῦ θείου Λόγου Ἀνδρέου τοῦ Ἀποστόλου τοῦ καί «Πρωτοκλήτου» ἐπικληθέντος.

Ὁ Ἀπόστολος Ἀνδρέας μετά τοῦ ἀδελφοῦ αὐτοῦ Σίμωνος Πέτρου ἐχρημάτισαν μαθηταί τοῦ ἁγίου Ἰωάννου τοῦ Βαπτιστοῦ, ὡς μαρτυρεῖ ἐν τῷ Εὐαγγελίῳ αὐτοῦ ὁ ἅγιος Ἰωάννης ὁ Θεολόγος (Ἰωάν. 1, 35-37, 40). Ὅταν ὁ Ἰωάννης ὁ Βαπτιστής εἶδε

τόν Ἰησοῦν μετά τό βάπτισμα Αὐτοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ καί εἶχε πλησίον του δύο μαθητάς του, τόν Ἀνδρέαν καί τόν Ἰωάννην [τόν Εὐαγγελιστήν] δεικνύει πρός αὐτούς τόν Κύριον λέγων: «ἴδε ὁ ἀμνός τοῦ Θεοῦ» (Ἰωάν 1,36) καί οὗτοι ἠκολούθησαν τῷ Ἰησοῦ. «Ἦν Ἀνδρέας ὁ ἀδελφός Σίμωνος Πέτρου εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρά Ἰωάννου καί ἀκολουθησάντων αὐτῷ· εὑρίσκει οὗτος πρῶτος τόν ἀδελφόν τόν ἴδιον Σίμωνα καί λέγει αὐτῷ· εὑρήκαμεν τόν Μεσσίαν· ὅ ἐστι μεθερμηνευόμενον Χριστός», (Ἰωάν. 1, 41-42).

Τό ὡς ἄνω γεγονός εἶχεν ὡς ἀποτέλεσμα τήν μετά τήν σύλληψιν ὑπό τοῦ Ἡρώδου τοῦ Ἰωάννου τοῦ Βαπτιστοῦ, ὁριστικήν κλῆσιν τοῦ Πέτρου καί τοῦ Ἀνδρέου ὑπό τοῦ Κυρίου, ὅταν εὗρεν αὐτούς παρά τήν θάλασσαν τῆς Γαλιλαίας, «βάλλοντας ἀμφίβληστρον εἰς τήν θάλασσαν· ἦσαν γάρ ἁλιεῖς· καί λέγει αὐτοῖς· δεῦτε ὀπίσω μου καί ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. οἱ δέ εὐθέως ἀφέντες τά δίκτυα ἠκολούθησαν αὐτῷ», (Ματθ. 4, 18-20).

Σχολιάζων τό αὐθόρμητον καί τήν προθυμίαν τοῦ Ἀνδρέου καί τοῦ ἀδελφοῦ αὐτοῦ Πέτρου, ὁ ἱερός Χρυσόστομος λέγει: «Σκόπει δέ αὐτῶν καί τήν πίστιν καί τήν ὑπακοήν· καί γάρ ἐν μέσοις τοῖς ἔργοις ὄντες, ἀκούσαντος αὐτοῦ [τοῦ Χριστοῦ] κελεύοντος, οὐκ ἀνεβάλοντο, οὐχ ὑπερέθεντο, οὐκ εἶπον: Ὑποστρέψαντες οἴκαδε, διαλεχθῶμεν τοῖς προσήκουσιν, ἀλλά πάντα ἀφέντες εἵποντο».

Βεβαίως τήν πίστιν ταύτην εἰς τόν «Ἀμνόν τοῦ Θεοῦ», δηλονότι τόν Χριστόν ἐνέσπειρεν εἰς τήν καρδίαν τοῦ θεηγόρου Ἀνδρέου ὁ μέγας τῆς ἐρήμου κῆρυξ τῆς μετανοίας καί διδάσκαλος Αὐτοῦ, ὁ ἅγιος Ἰωάννης ὁ Πρόδρομος ὡς ἀναφωνεῖ καί ὁ ὑμνῳδός αὐτοῦ: «ὁ τῷ Προδρόμου φωτί μεταμορφωμένος, ὅτε τό ἀπαύγασμα τό ἐνυπόστατον τῆς πατρικῆς δόξης ἔφανεν ἀνθρώπων γένος, δι’ εὐσπλαγχνίαν σῶσαι βουλόμενος, τότε πρῶτος ἔνδοξε τούτῳ προσέδραμες, καταυγασθείς τήν διάνοιαν, τελειοτάτῃ, μαρμαρυγῇ αὐτοῦ τῆς Θεότητος· ὅθεν καί κῆρυξ καί Ἀπόστολος, χρηματίσας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· Ὅν ἱκέτευε σῶσαι καί φωτίσαι τάς ψυχάς ἡμῶν».

Ἐξ ἄλλου τήν ἐν τῷ φωτί τοῦ Προδρόμου, γενομένην μεταμόρφωσιν τῶν αὐταδέλφων Ἀποστόλων, κατά τήν συνάντησίν των μετά τοῦ Σωτῆρος Χριστοῦ, ἐκφράζει ἐν τῇ διδασκαλίᾳ καί τῷ κηρύγματι αὐτοῦ ὁ Ἀπόστολος Πέτρος λέγων: «Τάς ψυχάς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας διά Πνεύματος ... ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλά ἀφθάρτου, διά λόγου ζῶντος Θεοῦ καί μένοντος εἰς τόν αἰῶνα· διότι πᾶσα σάρξ ὡς χόρτος, καί πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καί τό ἄνθος αὐτοῦ ἐξέπεσε· τό δέ ρῆμα Κυρίου μένει εἰς τόν αἰῶνα. τοῦτο δέ ἐστι τό ρῆμα τό εὐαγγελισθέν εἰς ὑμᾶς». (Α΄ Πέτρ. 1, 22-25).

Μέ ἄλλα λόγια, ἀγαπητοί μου ἀδελφοί, «τό ρῆμα Κυρίου τό εὐαγγελισθέν εἰς ἡμᾶς» ὑπό τῶν ἁγίων Ἀποστόλων Ἀνδρέου τοῦ Πρωτοκλήτου καί Πέτρου τοῦ φίλου τοῦ Χριστοῦ εἶναι ὁ ζῶν λόγος τοῦ Θεοῦ, δηλονότι ἡ ἄφθαρτος ἐν Χριστῷ ζωή τῶν ἀγαπώντων τόν Χριστόν, ὡς τοῦτο μαρτυρεῖ τό μέχρι σήμερον σῳζόμενον ἄφθαρτον λείψανον καί δή ἡ ἱερά κάρα [τιμία κεφαλή] τοῦ ἁγίου ἡμῶν ἐνδόξου Ἀποστόλου Ἀνδρέου ἐκ τοῦ μαρτυρικοῦ θανάτου αὐτοῦ.

Οὗτος ἡμῶν ὁ ἅγιος τοῦ Θεοῦ, ὁ τῶν Ἀποστόλων Πρωτόκλητος γενόμενος, ἐσφράγισε τό εἰς πολλάς χώρας καί πόλεις τῆς Οἰκουμένης κηρυχθέν Εὐαγγέλιον τοῦ Χριστοῦ, διά τοῦ μαρτυρικοῦ αὐτοῦ αἵματος, μιμούμενος τά πάθη Αὐτοῦ [τοῦ Χριστοῦ] μέχρι θανάτου, ὡς ἐναργέστατα διατυπώνει τοῦτο ὁ ὑμνῳδός αὐτοῦ:

«Ὡς πρωτόκλητον πάντων τῶν Μαθητῶν, καί αὐτόπτην τοῦ Λόγου καί ὑπουργόν, Ἀνδρέα Ἀπόστολε, κατά χρέος τιμῶμέν σε, τῷ γάρ Ἀμνῷ τῷ αἴροντι, τοῦ κόσμου τά πταίσματα, ἀδιστάκτῳ πόθῳ, θερμῶς ἠκολούθησας· ὅθεν καί τοῦ πάθους, κοινωνός ἀνεδείχθης, τοῦ σαρκί ὑπομείναντος, ἑκουσίως τόν θάνατον. Διά τοῦτο βοῶμέν σοι. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου».

Ὄντως μετά ἱεροῦ πόθου ἑορτάζομεν σήμερον τήν μνήμην τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου Ἀνδρέου, τοῦ ὁποίου τό ἄφραστον κάλλος τῆς ψυχῆς αὐτοῦ προϊδών ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός ἐκάλεσεν αὐτόν εἰς τό ἀποστολικόν ἀξίωμα, φανερώσας αὐτῷ ὅτι Αὐτός ἐστίν ὁ ἐν τῷ Μωσαϊκῷ Νόμῳ καί τοῖς Προφήταις κηρυχθείς Μεσσίας, τοὐτέστιν Σωτήρ τοῦ κόσμου, ὁ ἐκ Παρθένου Μαρίας γεννηθείς ἐν τῷ σπηλαίῳ τῆς Βηθλεέμ καί ὑπό τῶν μάγων προσκυνηθείς.

Ἡμεῖς, ἀγαπητοί μου, καλούμεθα ὑπό τοῦ πανευφήμου ἁγίου Ἀποστόλου Ἀνδρέου σήμερον κατά τήν θείαν εὐχαριστιακήν καί ἀναίμακτον λατρείαν, ἵνα προσκυνήσωμεν καί προσπέσωμεν Αὐτῷ καί κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς· ὅτι Αὐτός ἐστίν ὁ Θεός ἡμῶν καί ἡμεῖς λαός νομῆς Αὐτοῦ καί πρόβατα [νοητά] χειρός Αὐτοῦ», (Ψαλμ. 94, 6-7). Ἔτι δέ δεηθῶμεν «τοῦ Κυρίου κατευθύναι ἡμῶν τάς καρδίας εἰς τήν ἀγάπην τοῦ Θεοῦ καί εἰς τήν ὑπομονήν τοῦ Χριστοῦ», (Β’ Θεσ. 3,5). **Ἔτη πολλά καί εὐλογημένα Χριστούγεννα, ἀπηλλαγμένα τῆς λοιμώδους νόσου! Ἀμήν.**

Μετά την θεία Λειτουργία ο καλώς επιμελούμενος της συντηρήσεως της Μονής Σεβασμιώτατος Αρχιεπίσκοπος Πέλλης κ. Φιλούμενος παρέθεσε κέρασμα σε όλους, το μεσημέρι δε τράπεζα στην Πατριαρχική Συνοδεία και τον κ. Γενικό Πρόξενο της Ελλάδος στα Ιεροσόλυμα κ. Ευάγγελον Βλιώραν.